μὲν πρὸς ἐπήρειαν, τὰ δὲ πρὸς φιλίαν δημηγορεῖν, ἃ ποιοῦσιν ἔνιοι τῶν δευρὶ παριόντων. Ἐγὼ δὲ τούτοις μὲν τοσοῦτον ἂν εἴποιμι, ὅτι μοι δοκοῦσιν οὐδ' εἴ τι πεποιήκασιν τοιοῦτον μέγισθ' ἡμαρτηκέναι, ἀλλ' ὅτι δηλοῦσιν οὐδέποτ' οὐδὲ παύσασθαι παρεσκευασμένοι. 2 Ὑμῖν δὲ παραινῶ μὴ προϊεμένους ὑμᾶς αὐτοὺς ἱκανὸν τοῦτο νομίζειν, δίκην, ὅταν ὑμῖν δόξῃ, παρὰ τούτων λαβεῖν, ἀλλὰ καὶ τούτους, ὅσον ἐστὶν ἐν ὑμῖν, κωλύειν, καὶ αὐτούς, ὡς ὑπὲρ πόλεως προσήκει βουλευομένους, τὰς ἰδίας ἀνελόντας φιλονικίας τὸ κοινῇ βέλτιστον σκοπεῖσθαι, ἐνθυμουμένους ὅτι οὐδείς, οὐδ' ἅμα πάν|τες οἱ πολιτευόμενοι, τῶν νόμων, ἐφ' οἷς ὑμεῖς ἐστε, ἀξιόχρεῴ εἰσι διαφθαρέντων δίκην δοῦναι.

## ΙΒ [ΙΓ]

Ἴσως ἐπίφθονον ἄν τισιν, ὦ ἄνδρες Ἀθηναῖοι, δόξειεν εἶναι, εἴ τις ὢν ἰδιώτης καὶ τῶν πολλῶν ὑμῶν εἷς, ἑτέρων συμβεβουλευκότων, οἳ καὶ τῷ πάλαι πολιτεύεσθαι καὶ τῷ παρ' ὑμῖν δόξαν ἔχειν προέχουσιν, παρελθὼν εἴποι, ὅτι οὐ μόνον αὐτῷ δοκοῦσιν οὐκ ὀρθῶς λέγειν, ἀλλ' οὐδ' ἐγγὺς εἶναι τοῦ τὰ δέοντα γιγνώσκειν. Οὐ μὴν ἀλλ' ἔγωγ' οὕτω σφόδρ' οἶμαι μᾶλλον ὑμῖν συμφέροντ' ἐρεῖν τούτων, ὥστ' οὐκ ὀκνήσω πάνθ' ἃ τυγχάνουσιν εἰρηκότες ἄξια μηδενὸς εἶναι φῆσαι. Νομίζω δὲ καὶ ὑμᾶς ὀρθῶς ἂν ποιεῖν, εἰ μὴ τὸν λέγοντα, ἀλλὰ τὰ